www.tezaurliturgic.ro

+

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

# ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ & ΘΑΥΜΑΤΟΥΡΓΩΝ ΑΝΑΡΓΥΡΩΝ

# ΚΥΡΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

(31 Ἰανουαρίου)

* * *

Ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
αἰτήσει τοῦ
Πανοσιολογιωτάτου ἀρχιμανδρίτου π.Γεωργίου Χρυσοστόμου,
δρ.Φιλολογίας

* ΑΓΙΟΝ ΟΡΟΣ ΑΘΩΣ *
͵αϡϞ´ * 1996
*

www.tezaurliturgic.ro



**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Μετὰ τὰ γ΄ στιχηρὰ τοῦ μηναίου ψάλλομεν καὶ τὰ παρόντα νεοσύνθετα.

Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Κόσμον ἀρνησάμενος καὶ τὰ τοῦ κόσμου ἡδέα, ἔρημον κατείληφας, ἄσκησιν ἑλόμενος Κῦρε πάντιμε, τὸν Χριστὸν ἔχων δέ, πόθον καὶ ἀγάπην, καθυπέταξας τῇ χάριτι, τοῦ θείου Πνεύματος, πάθη σεαυτὸν καθηράμενος· ἐντεῦθεν πυρακτούμενος, ζήλῳ ὠφελείας τῶν πέλας σοι, ἀναργύρως νόσους, ψυχῶν καὶ τῶν σωμάτων χαλεπάς, ἐκ τῶν πασχόντων ἐδίωκες, κλήσει τοῦ Δεσπότου σου.

Παύλου θεορρήμονος, καθυπαχθεὶς θείοις λόγοις, Ἰωάννη λέγουσιν, ὅτι στρατευόμεθα οἱ πιστεύοντες, τῷ Χριστῷ ἔχοντι, βασιλείαν ἄφθαρτον, εὐθὺς ζώνην ἐναπέῤῥιψας, καὶ ἠκολούθησας, Κύρῳ ὡς ποιμένι τὸ πρόβατον, μεθ᾽ οὗ διῆλθες βίον σου, ἅπαντας νοσοῦντας ἰώμενος, καὶ πρὸς τοῦ Κυρίου, τὸ φῶς καθοδηγῶν λόγοις σοφοῖς, τοὺς ἐν τῷ σκότει καθεύδοντας, τῶν εἰδώλων ἅγιε.

Τῆς Τριάδος ἔχοντες, ἀνθρωποσώτειραν πίστιν, Κῦρε Ἰωάννη τε, ὡς θυσίαν εὔοσμον προσηνέγκατε, τῷ Χριστῷ μάρτυρας, ὡς καλοὶ ἀλεῖπται, ἀδελφῶν τριάδα πάναγνον, σὺν τῇ μητρὶ αὐτῶν, ἃς ἀθλητικαῖς παραινέσεσι, προθύμους ἀπεδείξατε, πρὸς τὸν πολυώδυνον θάνατον, ὅθεν ὡς σφραγῖδα, ὑμᾶς αὐτοὺς

www.tezaurliturgic.ro

ἐθύσατε σοφοί, καὶ ἀμαράντινον στέφανον, ἐκ Θεοῦ εἰλήφατε.

Δόξα. Ἦχος πλ.δ΄. Δυὰς μαρτύρων σήμερον...(ἐκ τοῦ μηναίου)

Καὶ νῦν. Ὁ Βασιλεὺς τῶν οὐρανῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

(κεφ.μγ΄. 9)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ἤ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν· γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεὸς καὶ ὁ Παῖς μου, ὅν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσετέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ὁ ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(κεφ.γ΄.1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν

πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασαεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(κεφ.ε΄ 16 - στ΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε. Μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν,

ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

Ψάλλομεν στιχηρὰ ἰδιόμελα.

Ἦχος α΄.

Ἀγάπης οὐδὲν ἴσον τῆς πρὸς Θεὸν καὶ πλησίον· ταύτης πλήρης γενόμενος Κῦρε θεαγάπητε, ἐν τῇ ἐρήμῳ ἀσκούμενος, πάλιν εἰς τὸν κόσμον ἐπανέστρεψας, ποθῶν τὴν τῶν πολλῶν σωτηρίαν καὶ τῆς θεογνωσίας τὴν μέθεξιν· διὸ ἐν τῇ φιλανθρωπίᾳ τῆς ἰατρικῆς ἐπιστήμης καὶ τῇ συνεργίᾳ τῶν εὐχῶν, πολλοῖς γέγονας εὐεργέτης, πάθη θεραπεύων ψυχῶν τε καὶ σωμάτων, ὧν καὶ ἡμᾶς ἀπάλλαξον, τοὺς εὐλαβῶς τιμῶντας τὴν μνήμην σου.

Ἦχος β΄.

Τὴν ἐπουράνιον στρατείαν τῆς ἐπικήρου προτιμήσας, Ἰωάννη μακάριε, καὶ τὸν ὁσιώτατον Κῦρον ἐπιλεξάμενος ἀλείπτην σου, τὴν ἀσκητικὴν ὡς ἄριστα μετῆλθες ἀγωγήν. Στομωθεὶς δὲ τῆς εὐσεβείας τοῖς ἀγωνίσμασιν, ὀξύτερος μαχαίρας ἐδείχθης κατὰ τῆς ἀσεβείας, θέλων ἐν παντὶ καὶ πᾶσιν τὴν τοῦ Κυρίου εἰκόνα ἀναστηλοῦν ταῖς ψυχαῖς. Ὅθεν ἀναργύρως μετέδωκας τὴν δοθεῖσάν σοι χάριν, καὶ πρεσβεύεις ὡς φιλάδελφος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τῆς φυσικῆς σχέσεως τοὺς δεσμοὺς ὑπερέβητε, πνευματικῶς ἑδραιωθέντες ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης Χριστοῦ· διὸ ἰατῆρες φαινόμενοι τῶν ἀσθενούντων, τούτοις μετοχεύετε τῆς πίστεως τὰ ζείδωρα ῥεύματα· καὶ μαρτύρων ἐναθλούντων ὑπανάπτοντες τὴν φλόγα τοῦ φρονήματος, μαρτυρικοῦ τέλους καὶ στέφους ἄμφω

www.tezaurliturgic.ro

κατηξιώθητε, Χριστὸν τὸν Θεὸν ἱκετεύοντες, ὑπὲρ ἡμῶν σεπτοὶ Ἀνάργυροι.

Ἦχος δ΄.

Τὴν τοῦ πλησίον ὠφέλειαν ὡς ὑμετέραν λογιζόμενοι, πληγὰς ἀνιάτους καὶ ψυχοφθόρα πάθη, τῇ ἐπικλήσει τοῦ ὑπὲρ πᾶν ὀνόματος τοῦ Χριστοῦ φροῦδα ἀπεδείκνυτε, Κῦρε θεόφρον καὶ Ἰωάννη χριστόψυχε· οὐ γὰρ ἐκ γνώσεως ἀνθρωπίνης ὑμῶν ἡ δύναμις, ἀλλὰ τὸ ἰσχύον χάρισμα ἐκ τοῦ πανδωρεοδότου Θεοῦ, Ὃν ἐκτενῶς καθικετεύσατε ὑπὲρ ἡμῶν ἰατροὶ πανάριστοι.

Δόξα. Ἦχος πλ.α΄.

Τὴν τοῦ Δεσπότου ἐπιποθοῦντες εὐαρέστησιν, ταύτης ἐπετύχετε Ἀνάργυροι, διὰ τῆς διακονίας τῶν ἀσθενούντων ἀδελφῶν. Ἐν γὰρ τοῖς δεομένοις τῆς ὑμῶν ἰατρείας ὁρῶντες τὸν Χριστόν, πάσῃ δυνάμει ἐνεργεῖτε τὴν φιλάνθρωπον τέχνην, καὶ θαυμαστῶς θεραπεύοντες τὰς νόσους, τῷ Ἰατρῷ ψυχῶν τε καὶ σωμάτων, τὴν δόξαν ἀπενέματε· ὅθεν ἀντεδοξάσθητε ὑπερπλασίως, διὰ τῆς μαρτυρικῆς τελειώσεως, Κῦρε τοῦ Κυρίου ὑπηρέτα γνήσιε, καὶ Ἰωάννη τοῦ ἐπουρανίου Βασιλέως στρατιῶτα πιστέ. Αὐτὸν ἱκετεύσατε τρισόλβιοι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια. Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Κῦρε ἀκέστορ πανθαύμαστε, οὐχ Ἱπποκράτους χρησμοῖς, ἀλλὰ Πνεύματος χάριτι, πάθη ἐθεράπευες, καὶ ψυχὰς κατεφώτιζες, Εὐαγγελίου θείοις διδάγμασι, υἱοὺς δεικνύων ἀπολυτρώσεως· ὅθεν ἀπείληφας, παρὰ τοῦ

Δεσπότου σου τὴν δωρεάν, νόσους αἰτουμένων σε, διώκειν τάχιστα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις Ἰωάννη πάντιμε, ὁ στρατευθεὶς τῷ Χριστῷ, καὶ τοῦ Κύρου γενόμενος, συνεργὸς ὁμόψυχος, ὡς ὁμότεχνος ἄριστος· τὴν ἰατρείαν γὰρ μετερχόμενος, καὶ ἀσθενείας πάσας ἰώμενος, δόξαν ἀπένειμας, τῷ σε θαυμαστώσαντι ὑπερφυῶς, καὶ ἀνθρώπων αἴροντι, ἄχθη δυσβάστακτα.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Τοῦ Σιλωὰμ ὑπερέβητε, πηγὴν ὑμεῖς ἀληθῶς, ἐν εὐχαῖς ἐξιώμενοι, πάθη τὰ τοῦ σώματος, καὶ ψυχῶν ἐκδιώκοντες, ἀμβλυωπίαν τὴν σκοτεινόμορφον, Φῶς τοῦ Κυρίου ὡς καταγγέλλοντες· ὅθεν Ἀνάργυροι, Κῦρε Ἰωάννη τε θαυματουργοί, καὶ ἡμᾶς ἰάσασθε, Χριστοῦ τῇ χάριτι.

Δόξα. Ἦχος β΄.

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος...(ἐκ τοῦ μηναίου)

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδά μου.

Ἀπολυτίκιον *(ποίημα Ὑμνογράφου τῆς ΜΧΕ +Γέρ. Γερασίμου)*

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς θεῖοι ἀκέστορες καὶ ἰατῆρες παθῶν, ἰᾶσθε τοὺς σπεύδοντας τῇ ἀντιλήψει ὑμῶν, Ἀνάργυροι ἔνδοξοι, Κῦρε καὶ Ἰωάννη, ὅθεν δίδοσθε πᾶσι, δύναμιν καὶ σοφίαν, ἰατροῖς τοῖς αἰτοῦσιν, ὑμῶν τὴν προστασίαν, ἐν πίστει ἑκάστοτε.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ στιχ.Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Κυρώσας εἰς Θεόν, καὶ πλησίον ἀγάπην, φθαρτῶν καὶ γεηρῶν, ὑπερεῖδες τὴν χρῆσιν, σὸν χρῆμα λογιζόμενος, ἀδελφοῖς τὰ συμφέροντα, ὅθεν γέγονας, θεραπευτὴς πάσης νόσου, Κῦρε πάντιμε, Σταυροῦ τῇ θείᾳ δυνάμει, διὸ εὐφημοῦμέν σε.

Δόξα. καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, ἀψευδὴς καὶ βεβαία, ἐλέους χορηγέ, καὶ πηγὴ συμπαθείας, ἡ κλεὶς ἡ διανοίγουσα, τοῦ Θεοῦ τὴν χρηστότητα, πᾶσιν ἄνοιξον, τῆς εὐσπλαγχνίας τὴν πύλην, πᾶσι δώρησαι, τοῦ τῆς τρυφῆς Παραδείσου, τὴν οἴκησιν Δέσποινα.

Μετὰ τὴν β΄. στιχ.Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Φιλανθρωπίᾳ σου τὴν τέχνην ἥρμοσας, εὑρὼν συνέριθον, Κῦρον τὸν ὅσιον, καὶ ἰαμάτων χορηγός, ἐδείχθης ὦ Ἰωάννη, δῶρον τὸ παμπόθητον, ὑγιείας δωρούμενος, τοῖς προσερχομένοις σοι, ἀναργύρως μακάριε, διὸ μὴ διαλίπῃς παρέχειν, ἡμῖν εὐχαῖς σου τὰ συμφέροντα.

Δόξα. καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

www.tezaurliturgic.ro

Ἅπας ὁ βίος μου, ἐν ῥαθυμίᾳ πολλῇ, διῆλθε Δέσποινα, καὶ νῦν προσήγγισα, τῷ τῆς ἐξόδου μου καιρῷ, καὶ δέδοικα τοὺς ἐχθρούς μου, μὴ διασπαράξωσι, τὴν ψυχήν μου Πανάμωμε, καὶ τῆς ἀπωλείας με, τῷ βυθῷ παραπέμψωσιν· ἀλλ' οἴκτειρον τὸν δοῦλόν σου Κόρη, καὶ ῥῦσαί με τῆς τούτων κακώσεως.

Μετὰ τὸν Πολυέλεον.Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν & Λόγον.

Ἐκ Χριστοῦ εἰληφότες τὴν δωρεάν, θεραπεύειν τὰς νόσους τῶν ἀσθενῶν, Ἀνάργυροι πάντιμοι, Ἰωάννη σὺν Κύρῳ τε, οὐ κοινοῖς φαρμάκοις, καὶ τέχνης σοφίσμασιν, ἀλλὰ ἐπικλήσει τοῦ θείου Ὀνόματος· ὅθεν πυρωθέντες, τῶν μαρτύρων ἀγάπῃ, ἀλεῖπται γεγόνατε Ἀθανασίας τῆς μάρτυρος, καὶ παρθένων κορῶν αὐτῆς, διὸ ξιφοτμηθέντες ὁμοῦ, παραδείσου μέτοχοι γεγόνατε, καὶ ἱκέται τοῦ κόσμου, πρὸς Κύριον ἔνθερμοι.

Δόξα. καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἡ νεφέλη ἡλίου τοῦ νοητοῦ, τοῦ νοός μου τὰ νέφη τὰ σκοτεινά, διάλυσον Δέσποινα, τῷ φωτὶ τοῦ προσώπου σου, καὶ μετανοίας φέγγει, τὰ ὄμματα φώτισον, τῆς ζοφερᾶς ψυχῆς μου, παθῶν ἀμαυρότητι· τὰ πεπηρωμένα, καὶ τυφλώττοντα πάντῃ, τῶν φαύλων μου πράξεων, θολεραῖς ἐπιχύσεσιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Οἱ Ἀναβαθμοί· τὸ α΄ἀντίφωνον τοῦ δ΄ ἤχου, Ἐκ νεότητός μου.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ....

Εὐαγγέλιον, βλ. τῇ α΄ Νοεμβρίου.

Ὁ Ν΄, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τῶν Ἀναργύρων.

www.tezaurliturgic.ro

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ.β΄.

Χαριτωθέντες ἐκ Θεοῦ, Κῦρε καὶ Ἰωάννη, παθῶν τὰς ὀδύνας ἀναργύρως ἀπελαύνετε, καὶ ψυχικὰ ἄλγη ἀφανίζετε, ὡς πάλαι ἀποστολικῶς πορευόμενοι, πλήθη συνήψατε τῷ ἀληθεῖ Ἰατρῷ Χριστῷ, δι' Ὃν καὶ μαρτυρήσαντες γενναίως, ὑπὲρ ἡμῶν ἀεὶ καθικετεύετε.

τὰ λοιπὰ πάντα ὡς ἐν τῷ Μηναίῳ.

**Μεγαλυνάριον**

(+Γερ.Γερασίμου)

Χαίρετε Ἀνάργυροι ἱεροί, ἰατῆρες θεῖοι, νοσημάτων παντοδαπῶν, Κῦρε θεοφόρε, καὶ θεῖε Ἰωάννη, ἰατρῶν πρὸς τὸν Σωτῆρα, πρέσβεις θερμότατοι.

* * *

Στίχοι

Κυρώσατέ μοι βεβαίαν σωτηρίαν
ὕμνους φέροντι, Κῦρε καὶ Ἰωάννη.

* * *

*

*

* * *

Ἀνεπληρώθη κατὰ τὰ ἐλλείποντα ἡ ἀκολουθία τῶν Ἁγίων Ἀναργύρων Κύρου καὶ Ἰωάννου, τῇ 1.8.1996, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω.